## ΕΥΧΑΡΙΣΤΗΡΙΟΣ ΕΥΧΗ ΤΩΝ ΠΡΟΣΚΥΝΗΤΩΝ ΤΩΝ ΑΓΙΩΝ ΤΟΠΩΝ

Εὐχαριστοῦμεν Σοι, Δέσποτα τῶν ἁπάντων, Κύριε Ἰησοῦ Χριστέ, ὁ Θεός ἡμῶν, ἐπί πᾶσιν οἷς παρέσχου ἡμῖν ἀγαθοῖς καὶ ὅτι ἡμᾶς τοὺς ἁμαρτωλούς καὶ ἀναξίους, κατηξίωσας φθᾶσαι καὶ προσκυνῆσαι τὸν τόπον, οὗ ἐπὶ γῆς ἔστησαν οἱ πόδες Σου, ἐν ᾧ τὰς Ἀχράντους Σου Χείρας, ἐπί τοῦ Ζωοποιοῦ Ξύλου ἐκτείνας, τὸ ἡμέτερον γένος τῆς φθορᾶς ἠλευθέρωσας, καὶ τὴν εἰς τὸν παράδεισον εἴσοδον ὡδοποίησας, διά δὲ τῆς ἐνδόξου Τριημέρου Ἐγέρσεώς Σου καὶ τῆς εἰς οὐρανούς Ἀναβάσεώς Σου, τῆς σαρκός ἡμῶν τὸ πρόσλημμα ἐθέωσας.

Δι᾽ ὃ ἱκετεύομεν τὴν Σήν ἀνείκαστον Ἀγαθότητα: Ἀντίθες τῷ πλήθει τῶν ἀνομιῶν ἡμῶν τὴν ἄβυσσον τῶν οἰκτιρμῶν, Σου, καὶ μὴ συναπωλέσῃς ἡμᾶς ταῖς



ἁμαρτίαις ἡμῶν, ἀλλ᾽ ὡς ἀψευδῶς ἐπηγγείλω τοῖς Ἁγίοις Σου μαθηταῖς καὶ Ἀποστόλοις, ΜΕΙΝΟΝ ΜΕΘ ΗΜΩΝ πάσας τὰς ἡμέρας τῆς ζωῆς ἡμῶν, καταξιῶν καὶ ἡμᾶς μετασχεῖν ἐν τῇ ἀνεσπέρῳ ἡμέρα τῆς ἐπουρανίου Σου Βασιλείας, ἔνθα ἡ ἀπέραντος εὐφροσύνη τῶν καθορώντων τὸ ἄρρητον κάλλος τοῦ προσώπου Σου.

Ναί, Δέσποτα, Κύριε, Ἰησοῦ Χριστέ, νικησάτω Σου ἡ ἄμετρος εὐσπλαγχνία, καὶ κατάπεμψον ἡμῖν καὶ παντί τῷ λαῷ Σου πλούσια τὰ ἐλέη Σου. Πρεσβείαις τῆς ὑπερφυῶς κυησάσης Σε, Ἀειπαρθένου Μαρίας καὶ Ἐνδόξου Θεοτόκου, τῆς Μητρός Σου, δυνάμει τοῦ Τιμίου καὶ Ζωοποιοῦ Σταυροῦ, εὐδοκίᾳ καὶ χάριτι τοῦ Θεοδέγμονος καὶ Ζωοδόχου Τάφου, προστασίαις τῶν Τιμίων ἐπουρανίων Ἀσωμάτων Δυνάμεων, ἱκεσίαις τοῦ Τιμίου καὶ Ἐνδόξου Προφήτου Προδρόμου καὶ Βαπτιστοῦ Ἰωάννου, τῶν Ἁγίων ἐνδόξων καὶ Πανευ-

φήμων Ἀποστόλων, Πατριαρχῶν, Πατέρων, Μαρτύρων, Ὁμολογητῶν, Ἐγκρατευτῶν καὶ Πάντων Σου τῶν Ἁγίων.

Ἐν τῇ Ἁγίᾳ Πόλει τῆς Ἱερουσαλὴμ
14(27) Σεπτεμβρίου 1998 Ἑορτὴ τῆς
Ὑψώσεως τοῦ Τιμίου Σταυροῦ

Ἐλάχιστος ἐν προσκυνηταῖς
**Νικόλαος Δ. Θαλασσινὸς**
*ἰατρός ἐξ Ἀθηνῶν*

Μνήσθητι Κύριε τοῦ δούλου Σου Νικολάου ἰατροῦ, τοῦ ποιήσαντος, Σῇ χάριτι, τὸν παρόντα κανόνα εἰς δόξαν τοῦ ὀνοματός Σου καὶ τῆς ἐνδόξου τριημέρου Ἐγερσεώς Σου.



## Βιβλιογραφία:


**1.** Οἱ χαιρετισμοὶ εἰς τὸν Πανάγιον Τάφον τοῦ Κυρίου.
Ἔκδοσις Πατριαρχείου Ἱεροσολύμων 1987.

**2.** Ἁγιοταφιτικὸν Ἡμερολόγιον.
Ἔκδοσις Ἱεροῦ κοινοῦ Παναγίου Τάφου Ἀθῆναι 2005.